# TEZAUR LITURGIC

**4 SEPTEMBRIE**

**POLICARP KOMIS**

# SLUJBA SF.CUVIOS ANTIM DE LA KEFALONIA

**ATENA,2010**


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 04 ΣΕΠΤΕΜΒΡΙΟΥ ΑΝΘΙΜΟΥ ΟΣΙΟΥ ΤΟΥ ΚΕΦΑΛΛΗΝΟΣ ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα ΑΡΧΙΜ. ΠΟΛΥΚΑΡΠΟΥ ΚΟΜΗ**

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Μοναζόντων ὁ σύλλογος, φιλεόρτων συστήματα, εὐσεβῶς συνέλθωμεν εὐφραινόμενοι, καὶ ἐν ᾠδαῖς εὐφημήσωμεν, τὴν μνήμην τὴν εὔσημον τοῦ ἐνδόξου ἀσκητοῦ, εὐλαβῶς ἀνακράζοντες· πάτερ Ἄνθιμε, ἱκεσίαις σου μάκαρ εὐπροσδέκτοις, ῥῦσαι πάντας ἐκ κινδύνων, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου.

Ληξουρίου τὸ βλάστημα, Κεφαλλήνων ὡράϊσμα, τῆς μονῆς Λεπέδων θεῖον δομήτορα, τῶν ἀσκητῶν ἐγκαλλώπισμα, ἐργάτην πανάριστον τοῦ Χριστοῦ τῶν ἐντολῶν, πρεσβευτὴν ἀκαταίσχυντον, πρὸς τὸν Κύριον, ἀνυμνήσωμεν, ᾄσμασιν ἐνθέοις, τὸν οὐράνιον πολίτην, τὸν παναοίδιμον Ἄνθιμον.

Οὔτε κόσμου τὰ θέλγητρα, οὐ γονέων ἡ στέρησις, οὔτε τῶν ὀμμάτων μάκαρ ἡ πάθησις, τῆς πρὸς Χριστὸν ἀγαπήσεως, τὸν ζῆλον ἐμείωσαν, ἀλλ᾽ ὡς ἔλαφος σοφέ,

πρὸς τὸ ὄρος ἀνέδραμες, τὸ τοῦ Ἄθωνος, ενδυθεὶς δὲ τὸ Θεῖον μέγα σχῆμα, μοναζόντων ἀνεδείχθης, ὑπογραμμὸς πάτερ Ἄνθιμε.

Ἕτερα στιχηρὰ προσόμοια. Ἦχος πλ. δ΄. Τί ὑμᾶς καλέσωμεν Ἅγιοι.
Τί σε νῦν καλέσωμεν Ἄνθιμε; μοναζόντων ποδηγέτην, ἀσκητῶν ὑπογραμμόν, ζηλωτὴν τῶν Ἀποστόλων, καὶ προστάτην εὐσεβῶν, ἐργάτην ἀρετῆς ἀκαταπόνητον, ταμεῖον δωρεῶν τοῦ Θείου Πνεύματος. Πολλά σου τὰ προτερήματα, καὶ ἄπειρα τὰ χαρίσματα. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.
Τί προσαγορεύσω σε Ὅσιε; Κεφαλλήνων θυμηδίαν, πρεσβευτὴν πρὸς τὸν Θεόν, τῆς Ἀστυπαλαίας δόξαν, καὶ νοσούντων ἰατρόν, Κυκλάδων φωτιστὴν καὶ Θεῖον κήρυκα, ἐν χρόνοις τῆς δουλείας καὶ κακώσεως· πιστά σου τὰ κατορθώματα, καὶ ἔνθεα τὰ χαρίσματα. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.
Τί σε νῦν προσφθέγξομαι Ἄνθιμε; ποταμὸν τῶν ἰαμάτων, καὶ θαυμάτων αὐτουργόν, ἐγκρατείας θείαν στάθμην, καὶ ὁσίων κοινωνὸν ἀγγέλων συμπολίτην τηλαυγέστατον, δαιμόνων καθαιρέτην καὶ ἀντίπαλον λαμπρά σου τὰ κατορθώματα, ἐξαίσια τὰ θαυμάσια. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.
Δόξα Πατρί. Ἦχος πλ. β΄.
Δεῦτε τῶν Κεφαλλήνων φιλέορτοι σήμερον, τὰ ἄνθη τῶν μυστικῶν ᾀσμάτων συλλέξωμεν, καὶ ἐν ἐπαίνοις ἐπαξίως καταστέψωμεν, Ἄνθιμον τὸν ἐν ἀσκήσει

ἐκλάμψαντα, τὸν ἐν ὑπομονῇ στεῤῥότατον, καὶ ἐν θαύμασι περιβόητον. Ὀρθοδοξίας τὸν στῦλον καὶ μοναζόντων ἀλείπτην, τὸν πρεσβεύοντα ἀεὶ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.
Καὶ νῦν...
Τίς μὴ μακαρίσει σὲ Παναγία Παρθένε...

Εἴσοδος. Φῶς Ἱλαρόν, Προκείμενον τῆς ἡμέρας. Εἶτα τὰ ἀναγνώσματα.

Βασιλείων γ΄ τὸ ἀνάγνωσμα (ΙΘ΄, 9-13)
Καὶ Ἠλίας εἰσῆλθεν ἐκεῖ εἰς τὸ σπήλαιον καὶ κατέλυσεν ἐκεῖ· καὶ ἰδοὺ ῥῆμα Κυρίου πρὸς αὐτὸν καὶ εἶπε· τί σὺ ἐνταῦθα, Ἠλίου; καὶ εἶπεν Ἠλίου· ζηλῶν ἐζήλωσα τῷ Κυρίῳ παντοκράτορι, ὅτι ἐγκατέλιπον σὲ οἱ υἱοὶ Ἰσραὴλ· τὰ θυσιαστήριά σου κατέσκαψαν καὶ τοὺς προφήτας σου ἀπέκτειναν ἐν ῥομφαῖα, καὶ ὑπολέλειμαι ἐγὼ μονώτατος, καὶ ζητοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν. Καὶ εἶπεν· ἐξελεύσῃ αὔριον καὶ στήσῃ ἐνώπιον Κυρίου ἐν τῷ ὄρει· Ἰδοὺ παρελεύσεται Κύριος. Καὶ πνεῦμα μέγα κραταιὸν διαλῦον ὄρη καὶ συντρῖβον πέτρας ἐνώπιον Κυρίου, οὐκ ἐν τῷ πνεύματι Κύριος, καὶ μετὰ τὸ πνεῦμα συσσεισμός, οὐκ ἐν τῷ συσσεισμῷ Κύριος, καὶ μετὰ τὸν συσσεισμὸν πῦρ, οὐκ ἐν τῷ πυρὶ Κύριος καὶ μετὰ τὸ πῦρ φωνῇ αὔρας λεπτῆς, κἀκεῖ Κύριος. Καὶ ἐγένετο ὡς ἤκουσεν Ἠλίου, καὶ ἀπεκάλυψε τὸ πρόσωπον αὐτοῦ ἐν τῇ μηλωτῇ αὐτοῦ καὶ ἐξῆλθε καὶ ἔστη ὑπὸ τὸ σπήλαιον.

Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα(ΞΑ΄,1-6)
Πνεῦμα Κυρίου ἐπ᾿ ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, καλέσαι ἐνιαυτὸν Κυρίου δεκτὸν καὶ ἡμέραν ἀνταποδόσεως τῷ Θεῷ ἡμῶν, παρακαλέσαι πάντας τοὺς πενθοῦντας, δοθῆναι τοῖς πενθοῦσι Σιὼν δόξαν ἀντὶ σποδοῦ, ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσι, καταστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδίας, καὶ κληθήσονται γενεαὶ δικαιοσύνης, φύτευμα Κυρίου εἰς δόξαν καὶ οἰκοδομήσουσιν ἐρήμους αἰωνίας, ἐξηρημωμένας πρότερον ἐξαναστήσουσι καὶ καινιοῦσι πόλεις ἐρήμους, ἐξηρημωμένας εἰς γενεάς, καὶ ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρες καὶ ἀμπελουργοί. Ὑμεῖς δὲ ἱερεῖς Κυρίου κληθήσεσθε, λειτουργοὶ Θεοῦ ἰσχὺν ἐθνῶν κατέδεσθε καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα (Γ΄ 1-9)
Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψητε αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ

ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινούσιν ἔθνη, καὶ κρατήσουσιν λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενούσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπῇ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ. Ἰδιόμελα. Ἦχος α΄.
Εὐφραίνου ἐν Κυρίῳ, νῆσος Κεφαλληνία, ἡ ἄνθος βλαστήσασα, πάντας εὐωδιάζον, Ἄνθιμον τὸν ἔνδοξον, τῆς πίστεως ἀκατάβλητον πρόμαχον, τὸ ἔρεισμα τῶν ἀσκητῶν, τῶν Κυκλάδων νήσων ἱεροκήρυκα, καὶ τοῦ Πνεύματος ὄργανον. Πρεσβείαις αὐτοῦ Κύριε, τὴν ὀρθόδοξον πίστιν κραταίωσον, καὶ κατάπεμψον οὐρανόθεν εἰρήνην, τοῖς ἐν πίστει καὶ πόθῳ τελοῦσι, τὸν ἱερὸν αὐτοῦ μνημόσυνον.
Ἦχος γ΄.
Ἐκ νεαρὰς ἡλικίας Ἄνθιμε, ὡς ὁ προφήτης Σαμουὴλ τῷ Θεῷ ἀφιέρωσαι, περιελθῶν δὲ τὰς τοῦ Ἄθωνος Μονὰς τὸ τῆς ἀρετῆς νέκταρ συνέλεξας, ἐν διαφόροις δὲ νήσοις οἰκοδομήσας Μονὰς τοῦτο ἐναπέθηκας, δι᾽ οὗ διατρέφονται οἱ προσερχόμενοι πρὸς ψυχικὴν σωτηρίαν καὶ αἶνον τῆς τρισηλίου Θεότητος, καὶ νῦν αὐτῇ παριστάμενος μὴ διαλείπῃς πρεσβεύων δοθῆναι τῷ κόσμῳ ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

Ἦχος δ΄.
Ἀγάλλεται ὁ χορὸς μοναζουσῶν Ἄνθιμε, τῆς σεβασμίας, σοῦ μονῆς ἐπιτελῶν τὴν ἐτήσιον μνήμην σου. Σὺ δὲ ἐν οὐρανίοις σκηναῖς αὐλιζόμενος φωτὸς πληρούμενος, ὡς φιλόστοργος πατὴρ πέμψον πατρικὴν εὐλογίαν καὶ πρέσβευε ἐκτενῶς τῷ Κυρίῳ ἀξιωθῆναι αὐτὸς καὶ ἡμᾶς τοῦ ἀνεσπέρου φωτὸς καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.
Ὅμοιον.
Τὸν θαυμάσιον καὶ ἐνάρετον βίον σου, ὁρῶσαι σοφέ, τῶν Ἀγγέλων αἱ τάξεις ἐν οὐρανῷ, καὶ χορεῖαι ἀνθρώπων ἐπὶ τῆς γῆς, ἐθαμβήθησαν· σὺ γὰρ γήϊνος ὤν, ὡς ἀσώματος ἐν γῇ διετέλεσας, Ἄνθιμε πολυθαύμαστε νῦν δὲ ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος, καὶ ἀνέκφραστος ἡδονή, εὐφραινόμενος πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.
Δόξα πατρί. Ἦχος πλ. α΄.
Δεῦτε μοναστῶν τὰ πλήθη, δεῦτε φιλεόρτων ὁμήγυρις, δεῦτε ἐπαινέσωμεν ᾄσμασι θείοις, Ἀνθιμον τὸν νεολεκτὸν Ὅσιον, τοῦ Εὐαγγελίου πληρωτήν τε καὶ κήρυκα, τὸ τῶν μοναζόντων κλέος καὶ σοφὸν καθηγητήν, καὶ Ὀρθοδοξίας μέγα καὶ τρανὸν ἐγκαλλώπισμα, τὸ ἔκλαμπρον δοχεῖον, δωρεῶν τοῦ Θείου Πνεύματος, καὶ ἄμισθον ἰατρὸν νοσημάτων, ἐμπειρότατον ὑπάρχοντα, τὸν πρεσβεύοντα πάντοτε Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.
Καὶ νῦν.
Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν

σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν στίχον. Στιχηρὰ προσόμοια. Ἦχος α΄.
Πανεύφημοι μάρτυρες.
Ὥσπερ χρυσοπτέρυξ ἀετός, ἐκπετάσας Ἄνθιμε, ἀπὸ τοῦ ὄρους τοῦ Ἄθωνος, πάντας ἐδραίωσας τοὺς πιστοὺς τῶν νήσων τῶν Κυκλάδων, λόγοις σου πρὸς πίστιν τοῦ Χριστοῦ τὴν ὀρθόδοξον, ὃν καθικέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.
Στίχ.: Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Εὐχὴ εὐπροσδέκτῳ πρὸς Θεόν, ὑετὸν κατήγαγες εἰς Καστελλόριζον Ἄνθιμε, πάντας δὲ ηὔφρανας, οἱ καὶ κατιδόντες τὸ θαῦμα ἐθαύμασαν, ἥν ἔσχες παῤῥησίαν πρὸς Κύριον, ὃν καθικέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.
Στίχ.: Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.
Χαίροις τῶν ὁσίων χαρμονή, ἀσκητῶν ἀγλάϊσμα· χαίροις οὐράνιε ἄνθρωπε· χαίροις ὢ Ἄνθιμε, μοναζόντων κλέος καὶ ἡμῶν τῶν δούλων σοῦ μεσίτης, πρὸς Θεὸν ἀκαταίσχυντος, ὃν καθικέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.
Δόξα Πατρὶ καὶ Υἱῷ. Ἦχος πλ. δ΄.
Τῶν ἀσκητῶν τοὺς ὁμόφρονας καὶ ἐπιγείους ἀγγέλους τῆς Ἐκκλησίας ᾄσμασι μέλψωμεν πιστοί, τὸν

Γεράσιμον σὺν τῷ Ἀνθίμῳ καὶ Χριστῷ ἀνακράξωμεν ἱκετικῶς, φιλάνθρωπε Δέσποτα δώρησαι τῷ λαῷ σου ταῖς πρεσβείαις τῶν σῶν Ὁσίων, πλημμελημάτων ἄφεσιν καὶ τὸ Θεῖον ἔλεος.
Καὶ νῦν καὶ ἀεί. Θεοτοκίον.
Ἀνύμφευτε Παρθένε…

Νῦν ἀπολύεις. Τρισάγιον.
Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.
Τῆς Πάλλης τὸ βλάστημα, Κεφαλληνίας πυρσόν, τὸν θεῖον δομήτορα, τῆς τῶν Λεπέδων Μονῆς, φαιδρῶς εὐφημήσωμεν, Ἄνθιμον τὸν ἀσκήσει, τὸν ἐχθρὸν καθελόντα, χάριν δὲ ἰαμάτων ἐκ Κυρίου λαβόντα πρεσβεύοντα ἐκτενῶς ἡμᾶς διασῴζεσθαι.
Δόξα. Τὸ αὐτό. Καὶ νῦν…
Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον καὶ ἀγγέλοις ἄγνωστον μυστήριον…

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν. Κάθισμα. Ἦχος α΄. Τὸν Τάφον σου Σωτήρ.
Τὸν νέον ἀσκητήν, τῶν πιστῶν αἱ χορεῖαι, αἰνέσωμεν λαμπρῶς, μελῳδίαις ᾀσμάτων, τὸν ὅσιον Ἄνθιμον, Ἐκκλησίας ἀγλάϊσμα, τὸν πρεσβεύοντα, ὑπὲρ ἡμῶν τῷ Κυρίῳ, καὶ παρέχοντα, τοῖς ἐν αὐτὸν δεομένοις, ἀπαύστως ἰάματα.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.
Μαρία τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος δεινῆς ἀπογνώσεως καὶ πταισμάτων καὶ θλίψεων, σὺ γὰρ πέφυκας ἁμαρτωλῶν σωτηρία καὶ βοήθεια καὶ κραταιὰ προστασία καὶ σῴζεις τοὺς δούλους σου.

Μετὰ τὴν β΄ στιχολογίαν. Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.
Ὅλον τὸν βίον σου, μάκαρ διήνυσας, νηστείαις δάκρυσι, ὅσιε Ἄνθιμε, ἀδιαλείπτοις προσευχαῖς καὶ ἄκρα σκληραγωγία· ὅθεν καὶ ὁ Κύριος, σὲ ἀξίως ἐδόξασε, χάριν παρεχόμενος, ἐκτελεῖν τὰ θαυμάσια. Αὐτῷ μὴ διαλείπῃς πρεσβεύων, σώσαι ἡμᾶς τοὺς σὲ ὑμνοῦντας.
Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.
Θεομακάριστε, Μῆτερ ἀνύμφευτε, τὴν ἀσθενοῦσάν μου, ψυχὴν θεράπευσον, ὅτι συνέχομαι πολλοῖς ἐν πταίσμασι Θεοτόκε, ὅθεν καὶ κραυγάζω σοι, στεναγμῷ τῆς καρδίας μου, δέξαι μὲ Πανάχραντε, τὸν πολλὰ ἁμαρτήσαντα, ἵνα ἐν παῤῥησίᾳ βοῶ σοι, χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὸν πολυέλαιον. Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.
Ως ἄνθος ἐξήνθησας, καὶ ἐν ἐσχάτοις καιροῖς, ἡμᾶς εὐωδίασας, τῶν ἀρετῶν σου ὀσμαῖς, πατὴρ ἡμῶν Ἄνθιμε· σὺ γὰρ ἐν τῇ ζωῇ σοῦ, τὸν Χριστὸν ἀγαπήσας,

πάντα τὰ ἐν τῷ κόσμῳ ἐβδελύξω ἡδέα, ἑπόμενος τοῦ Κυρίου, θείοις διδάγμασι.
Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.
Ταχὺ δέξαι Δέσποινα τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε τῷ σῷ Υἱῷ καὶ Θεῷ, Κυρία πανάμωμε, λῦσον τὰς περιστάσεις, τῶν εἰς σὲ προστρεχόντων, σκέδασον τὰς ἐνέδρας καὶ τὰ θράση Παρθένε, τῶν νῦν ἐφοπλιζομένων, κατὰ τῶν δούλων σου.

Οἱ Ἀναβαθμοί. Τὸ πρῶτον ἀντίφωνον τοῦ δ΄ ἤχου.
Προκείμενον. Ἦχος δ΄: Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ.: Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.
Εὐαγγέλιον τοῦ Ὄρθρου. (Μάρκ. Ι΄, 28-31): Τῷ καιρῷ ἐκείνῳ ἤρξατο ὁ Πέτρος λέγειν τῷ Ἰησοῦ: ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι... Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι καὶ οἱ ἔσχατοι πρῶτοι.
Εἶτα ὁ Ν΄ ψαλμός.
Δόξα: Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις ἐλεήμων...
Καὶ νῦν: Ταῖς τῆς Θεοτόκου πρεσβείαις ἐλεήμων...
Ἐλεῆμον ἐλέησόν με ὁ Θεὸς... Ἰδιόμελον. Ἦχος πλ. β΄
Ἄνθιμε παμμάκαρ, ὁσιώτατε πάτερ, ἡ χαρὰ τῶν πιστῶν καὶ Χριστοῦ τοῦ Δεσπότου γνήσιος δοῦλος, ὁ τιθεὶς σεαυτὸν δι ἀγάπην Κυρίου, αὐτὸς καὶ νῦν πανόλβιε Θεοφόρε πατὴρ ἡμῶν, αἴτησαι πρεσβείαις σου καταπέμψαι ἡμῖν τὸ θεῖον ἔλεος.

Ὁ Κανῶν τῆς Θεοτόκου. Ὑγρὰν διοδεύσας.
Καὶ ὁ παρὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: ΑΝΘΙΜΟΝ ΜΕΠΩ ΟΣΙΩΝ ΚΛΕΟΣ. ΠΟΛΥΚΑΡΠΟΣ

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.
Ἀνοίξω τὸ στόμα μου, καὶ ἀνυμνήσω ἐν ᾄσμασι, τὸν βίον τὰ θαύματα, καὶ τοὺς ἀγῶνας ὁμοῦ, τοῦ ἀσκήσαντος, ἐν τοῖς ἐσχάτοις χρόνοις, Ἀνθίμου τοῦ μάκαρος, ὃν νῦν τιμήσωμεν.
Ναὸς ζῶν καὶ ἔμψυχος, ὑπάρχων πάτερ τοῦ Πνεύματος, μονὰς ᾠκοδόμησας, πρὸς δόξαν ὄντως Χριστοῦ, ἐν αἷς σῴζεται, πληθὺς προσερχομένων, καὶ ὑμνολογούντων σέ, μακαριώτατε.
Θεὸν ἐκ νεότητος, ἐπιποθήσας ἀνέδραμες, εἰς Ὅρος τοῦ Ἄθωνος, ἔνθα ηὐλίσθης σοφέ, ἐνδυσάμενος, τῶν μοναζόντων Σχῆμα, καὶ ἔζησας Ἄνθιμε, καθάπερ Ἄγγελος.
Θεοτοκίον.
Ἱκέτευε Δέσποινα, ὃν ἐν σαρκὶ ἀπεκύησας, Υἱόν σου καὶ Κύριον, ῥῦσαι ἡμᾶς πειρασμῶν, τοὺς προστρέχοντας, τῇ σκέπῃ σου τῇ θείᾳ, καὶ σὲ μακαρίζοντας, ἀειμακάριστε.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.
Μεγίστων ἐνθέων χαρισμάτων, ἐπλήσθης σοφὲ παρὰ Θεοῦ, βιώσας ὡς ἀσώματος, περιχαρῶς νῦν Ἄνθιμε, οἰκῶν τὰ ἐπουράνια, ὑπὲρ ἡμῶν καθικέτευε.
Ὁ μέγας πυρσὸς τῆς Ἐκκλησίας, ὁ θεῖος Κανὼν τῶν

ἀσκητῶν, ἡμᾶς συνεκαλέσατο, προθεῖς ἡμῖν εἰς τράπεζαν, τὰ εὐκλεῆ παλαίσματα, πρὸς εὐωχίαν οὐράνιον.
Νηστείαις συντόνοις Θεοφόρε, νεκρώσας τὸ φρόνημα σαρκός, τὸ πνεῦμα ἀνεζώωσας, ἀναδειχθεὶς ὢ Ἄνθιμε, δοχεῖον θείου Πνεύματος, ἀστραπηφόρον καὶ ἄσπιλον.
Θεοτοκίον.
Μυρίων ἐπλήσθης χαρισμάτων, τεκοῦσα τὸν Κτίστην τοῦ παντός, Μαρία Κυριώνυμε, χριστιανῶν τὸ καύχημα. Αὐτὸν οὖν καθικέτευε, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων σε.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ λόγον...
Τὸν Χριστὸν ἀγαπήσας ἀπὸ παιδός, τὰ ἐν κόσμῳ ὡς σκύβαλα παριδών, αὐτῷ ἠκολούθησας, ἐν τῷ βίῳ σου Ἄνθιμε· ἡ γὰρ δεινὴ παμμάκαρ, ὀμμάτων σου πάθησις, τὸν πρὸς Θεὸν σοῦ ζῆλον, οὐδόλως ἐμείωσεν. Ὅθεν Θεοφόρε, καὶ μονὰς ἑξαρίθμους, πρὸς δόξαν Θεοῦ ἤγειρας, καὶ μετέστης γηθόμενος, πρὸς Μονὴν τὴν οὐράνιον. Πρέσβευε Αὐτῷ ἐκτενῶς, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν Ἁγίαν μνήμην σου.
Δόξα. Τὸ αὐτό. Καὶ νῦν...
Τοῦ Ἡλίου νεφέλη τοῦ νοητοῦ, Θείου φέγγους λυχνία χρυσοφαής, ἄσπιλε ἀμόλυντε, παναμώμητε Δέσποινα, τὴν σκοτεινὴν ψυχήν μου, τυφλώττουσαν πάθεσι, τῆς ἀπαθείας αἴγλη, καταύγασον δέομαι, καὶ

μεμολυσμένην, τὴν καρδίαν μου πλῦνον, ῥοαῖς κατανύξεως, μετανοίας τε δάκρυσι, καὶ τοῦ ῥύπου μὲ καθαρόν, ἵνα πόθῳ κραυγάζω σοι, Θεοτόκε πανύμνητε· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι, τὸν πανάγιον τόκον σου.

Ὠδὴ δ´. Ὁ καθήμενος ἐν δόξῃ.

Ἑξανέτειλεν ὡς Ὄρθρος, καὶ λαμπρὸς μέγας ἥλιος, ἡ σεπτή σου μνήμη, Ἄνθιμε ὁσίων τὸ καύχημα, καταφαιδρύνουσα πάντας τοὺς προστρέχοντας, καὶ κραυγάζοντας δόξα τῷ σὲ ἀναδείξαντι.

Λόγοις θείοις διατρέφων, τὴν σὴν ποίμνην ὡδήγησας, ἐπὶ τόπον χλόης, καὶ εἰς μάνδραν πάτερ οὐράνιον, ἔνθα δικαίων χορείαι συνευφραίνονται, καὶ κραυγάζουσι δόξα τῷ σὲ ἁγιάσαντι.

Προσευχῇ σου εὐπροσδέκτῳ, πρὸς τὸν μόνον Φιλάνθρωπον, ἐν Καστελλορίζῳ, ὕδωρ ὡς Ἠλίας κατήγαγες, καὶ ἐκπλαγέντες οἱ πάντες τὸ παράδοξον, ἀνεκραύγαζον δόξα τῷ σὲ θαυμαστώσαντι.

Θεοτοκίον.

Ὢ μεγίστου μυστηρίου! ὁ Θεὸς ὁ καθήμενος, ἐπὶ θρόνου δόξης, ἦλθεν ἐπὶ γῆς ὡς ηὐδόκησε, καὶ σαρκωθεὶς ἐν τῇ μήτρᾳ σου Θεόνυμφε, διεσώσατο, τοὺς εὐσεβῶς ἀνυμνοῦντάς σε.

Ὠιδή ε΄. Ἐξέστη τὰ σύμπαντα.
Ὁσίως τὸν βίον σου, τελέσας πάτερ Ἄνθιμε, χαίρων μετετέθης εἰς τὰ ἄνω, ἐν Παραδείσῳ, εἰς τὰς αὐλὰς τοῦ Θεοῦ, ἔνθα τῶν ὁσίων ἡ πληθύς, πάντοτε εὐφραίνεται, καθορῶσα τὸν Κύριον.
Σπήλαιον μικρότατον, ὑγρὸν καὶ ἀτημέλητον, ἔσχες ὡς κελλίον Θεοφόρε, κλίνην δὲ μάκαρ, λίθους σκληροὺς καὶ τραχεῖς, τούτους καταβρέχων ταῖς ῥοαῖς, Πάτερ τῶν δακρύων σου, καθ᾽ ἑκάστην ἀοίδιμε.
Ἱκέσιον δέησιν, ἡμῶν τῶν ἀνυμνούντων σε, Ἄνθιμε πανόλβιε προσδέχου, ταύτην προσάγων, τῷ ἐπὶ πάντων Θεῷ, ἵνα ὡς φιλάνθρωπος ἡμῖν, πᾶσι χορηγήσηται, τῶν πταισμάτων συγχώρησιν.
Θεοτοκίον.
Ὢ θαῦμα παράδοξον, καὶ ὄντως ἀνερμήνευτον! πῶς ἡ ἀπειρόγαμος Παρθένος, βρέφος θηλάζει, τὸν ποιητὴν τοῦ παντός, τὸν πᾶσι παρέχοντα ζωήν, πάντας διατρέφοντα, καὶ κρατοῦντα τὰ σύμπαντα.

Ὠιδὴ στ΄. Τὴν Θείαν ταύτην καὶ πάντιμον.
Νηστείαις πάτερ καὶ δάκρυσι, παννύχοις προσευχαῖς καὶ δεήσεσι, προκαθηράμενος, ναὸν σαῦτον ἀπετέλεσας, τῆς τριλαμποῦς Τριάδος, θεόφρον Ἄνθιμε.
Κλέος ὑπάρχεις καὶ καύχημα, ὁσίων καὶ δικαίων πανόλβιε, καὶ ἐγκαλλώπισμα, Κεφαλληνίας ἀσύλλητον, καὶ τῆς Μονῆς σου δόξα, καὶ φύλαξ

ἄγρυπνος.
Λαμπρῶς τὴν θήκην ἐδόξασε, τῶν Θείων σοῦ λειψάνων ὁ Κύριος, καὶ ἀπειργάσατο, κρήνην ἰάματα βρύουσαν, τοῖς πίστει προσιοῦσιν, Ἄνθιμε πάντιμε.
Θεοτοκίον.
Ἐκ σοῦ Παρθένε ἀνέτειλεν, ὁ μέγας νοητὸς ὄντως Ἥλιος, καὶ κατεφώτισε, πάντα τοῦ κόσμου τὰ πέρατα, καὶ ἐκ σκιᾶς θανάτου, ἡμᾶς ἐξήγαγε.

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.
Εὐχαρίστῳ πνεύματι τῶν Κεφαλλήνων ἡ Νῆσος, ἑορτάζει σήμερον σὺν τῇ Μονῇ τῶν Λεπέδων, νήσους τε τὰς τῶν Κυκλάδων προσκαλουμένη, χαίρει γὰρ ὡς κεκτημένη μέγιστον πλοῦτον, τὸν πανίερον σοῦ τάφον. Ἄνθιμε ὁσίων συνόμιλε.

Ὁ Οἶκος.
Τοῦτον τὸν μέγαν νεοφανέντα ἀστέρα, τῷ τῆς Ἐκκλησίας νοητῷ στερεώματι, τῆς Κεφαλληνίας τὸ κάλλιστον θρέμμα καὶ τῶν μοναζόντων τερπνὸν ἐγκαλλώπισμα, τῶν ἀσκητῶν τὴν εὐπρέπειαν καὶ τῆς Χάριτος Ὄργανον, ᾄσμασι ἐγκωμίων ἀνευφημήσωμεν καὶ εὐσεβῶς πρὸς αὐτὸν ἐκβοήσωμεν. Ὡς ἔχων παῤῥησίαν πρὸς Κύριον, μὴ διαλείπῃς πρεσβεύων Ὅσιε, ὑπὲρ τῶν τελούντων τὴν ἱερὰν καὶ σεβάσμιον μνήμην σου Ἄνθιμε πάτερ, ὁσίων συνόμιλε.

Συναξάριον.
Τῇ 4η τοῦ μηνὸς Σεπτεμβρίου μνείαν ποιούμεθα τῆς κοιμήσεως τοῦ Ὁσίου καὶ Θεοφόρου πατρὸς ἡμῶν Ἀνθίμου τοῦ νέου ἀσκητοῦ καὶ Ἱεραπόστολου, τοῦ ἐκ Κεφαλληνίας.
Στίχοι:
Ἄνθιμος ἀνθήσας ἐν οἴκῳ Κυρίου,
ἀνθεῖ θαυμάτων τὴν μυρίπνοον χάριν.
Τετάρτῃ Ἀνθιμος θανῶν, γῆθεν ἤρθη πρὸς πόλον.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.
Οὐκ ἐσάλευσε, ψυχῆς σου τὸ στερέμνιον, ὀμμάτων πάθησις, ἀλλ᾽ ὡς δορκὰς ἀνελθών, εἰς τὸ Ὄρος τοῦ Ἀθωνος, ἐψαλλες Ἄνθιμε, Ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.
Σὲ κηρύττοντα, τὸν λόγον τὸν σωτήριον, φθόνῳ κινούμενοι, ἦλθον φονεῦσαί τινες, ἀλλ᾽ εἶδον σοῦ στόματος, πῦρ ἐξερχόμενον, ὅθεν ἔφυγον, σὺ δὲ βοῶν ἐκραύγαζες, ὁ Θεὸς εὐλογητὸς εἶ.
Πόθεν ἔνθεον, ἔχων ἐν τῇ καρδίᾳ σου, Ἄνθιμε, ἔδραμες εἰς τὴν Ἱερουσαλήμ, καὶ Τάφον τὸν Ἅγιον, Σὺ προσεκύνησας, κράζων Ὅσιε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.
Θεοτοκίον.
Ὀλοφύρομαι, καὶ κλαίω ἐνθυμούμενος, τὰς ἁμαρτίας μου, ἀλλὰ θαῤῥῶν ἐπὶ σέ, προστρέχω τῇ σκέπῃ σου, κράζων τὸ ἥμαρτον ἀειπάρθενε, Ὑπεραγία πρέσβευε, πρὸς τὸν ἄναρχον Υἱόν σου.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.
Λαβὼν ἐκ Θεοῦ τὴν Θείαν χάριν, παρέχειν πᾶσι νοσοῦσι τὰ ἰάματα, πάτερ προσηνέχθη σοι, γυνὴ ἡ τυφλώττουσα ἥν εὐλόγησας Ἄνθιμε, ἰάθη. Ψάλλουσα, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.
Ὑμνοῦμεν παμμάκαρ τοὺς ἀγῶνας, τοὺς κόπους ἱδρῶτας καὶ τὰ σκάμματα, ἅπερ καθυπέμεινας, ἔτι ζῶν μακάριε. Ὅθεν Χριστῷ παρίστασαι, ψάλλων γηθόμενος. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.
Κλύδωνα παμμάκαρ τῆς θαλάσσης, εὐχῇ σου πανευπροσδέκτῳ πρὸς τὸν Κύριον, αὖθις κατεπράϋνας, οἱ διασωθέντες δέ, ἐκ τοῦ κινδύνου ἅπαντες, χαίροντες ἔψαλλον, Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.
Θεοτοκίον.
Ἁπάντων ὑπάρχεις Θεοτόκε, ἡμῶν τῶν ἁμαρτανόντων καταφύγιον ὅθεν καταφεύγομεν, πρὸς τὴν θείαν σκέπην σου, καὶ δωρεὰν λαμβάνομεν, πταισμάτων ἄφεσιν, πρεσβείαις πρὸς Υἱὸν καὶ Θεόν σου, Ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἅπας γηγενής.
Μεγάλυνον ψυχή μου τῆς Κεφαλληνίας, τὸ βλάστημα τὸ μέγα, τὸν Ἄνθιμον τὸν θεῖον.
Ῥῦσαι πειρασμῶν, λοιμοῦ τε καὶ θλίψεων, καὶ περιστάσεων, πάντας τοὺς προστρέχοντας, ὑπὸ τὴν

σκέπην σου, μάκαρ Ἄνθιμε, καὶ τὴν Μονήν σου Ἅγιε, ἥν κόποις ἤγειρας, σαῖς πρεσβείαις Θείαις καὶ δεήσεσι, πρὸς Θεὸν τὸν λαμπρῶς σε δοξάσαντα.
Μεγάλυνον ψυχή μου Χριστοῦ τῆς Ἐκκλησίας τὸ σέμνωμα καὶ κλέος τὸν Ἄνθιμον τὸν Θεῖον.
Πάντες εὐλαβῶς, τὴν μνήμην τὴν ἔνδοξον, πανηγυρίσωμεν, τοῦ Ὁσίου σήμερον, καὶ ἐκ βαθέων καρδίας εἴπωμεν πρεσβείαις σου πρὸς Κύριον, θεόφρον Ἄνθιμε, τὴν σὴν νῆσον ῥῦσαι πάσης θλίψεως, ἐκ κινδύνων, σεισμῶν καὶ κακώσεων.
Δόξα Πατρί...
Μεγάλυνον ψυχή μου Τριάδα τὴν Ἁγίαν, ἥν δοξολογοῦσιν Ἀγγέλων στρατηγίαι.
Ὅλον σεαυτόν, Χριστῷ καθιέρωσας, παμμάκαρ Ἄνθιμε, καὶ αὐτοῦ τοῖς ἴχνεσιν, ἕως θανάτου πιστῶς ἐβάδισας, διὸ σὲ κατελάμπρυνε, θαυμάτων λάμψεσι, καὶ τῆς ὄντως, μάκαρ κατηξίωσε, μακαρίας ζωῆς καὶ λαμπρότητος.
Καὶ νῦν.
Μεγάλυνον ψυχήν μου Μαρίαν τὴν Παρθένον, τὴν ἁγνῶς τεκοῦσαν Χριστὸν τὸν Ζωοδότην.
Σῶσον ὁ Θεός, ἐκ πάσης αἱρέσεως, τὴν Ἐκκλησίαν σου, ταύτην δὲ συντήρησον, εἰς τοὺς αἰῶνας ἀπαρασάλευτον, ταῖς ἱεραῖς δεήσεσι, τῆς κυησάσης σε, καὶ Ἀνθίμου τοῦ σεπτοῦ ὁσίου σου, οὗ τὴν μνήμην φαιδρῶς ἑορτάζομεν.

Ἐξαποστειλάρια. Ἦχος γ΄. Ἀπόστολοι ἐκ περάτων.
Τῶν Κεφαλλήνων τὰ πλήθη συναθροισθέντα ἐν πίστει, Ἄνθιμε πάτερ ὑμνοῦμεν τοὺς ἱερούς σου ἀγῶνας, οὓς περ εἰργάσω πρὸς δόξαν Χριστοῦ τοῦ πάντων Δεσπότου.
Ῥῦσαι παντοίων κινδύνων καὶ τῶν σεισμῶν τῆς ἀπειλῆς, τὴν σὴν γενέτειραν νῆσον καὶ ἅπασαν τὴν Ἑλλάδα, Ἄνθιμε πάτερ τὸ ἄνθος τῆς Παναγίας Τριάδος.
Ὢ Παναγία Παρθένε, χριστιανῶν καταφυγή, πρεσβεύουσα μὴ διαλείπῃς τὸν σὸν Υἱὸν Θεοτόκε, σὺν τῷ Ὁσίῳ Ἀνθίμῳ, σωθῆναι πάντα τὸν κόσμον.

Εἰς τοὺς Αἴνους. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.
Ὢ τοῦ παραδόξου θαύματος, ἐν τοῖς ἐσχάτοις καιροῖς, τῇ ἀσκήσει ἐξέλαμψεν ὁ Θεόφρων Ἄνθιμος καὶ τὸν κόσμον κατηύγασε, τῆς ἐνάρετου ζωῆς ταῖς λάμψεσι, καὶ τῶν θαυμάτων θείοις πυρσεύμασι. Ὅθεν βοήσωμεν Ὅσιε, ἱκέτευε πρὸς τὸν Θεόν, φωτισθῆναι ἅπαντας φωτὶ τῆς χάριτος.
Κεφαλληνίας τὸ ἥδυσμα, τῆς τῶν Λεπέδων Μονῆς τὸ λαμπρὸν ἐγκαλλώπισμα, στῦλον καὶ ἑδραίωμα καὶ εὐχέτην πρὸς Κύριον, νῦν συνελθόντες ᾄσμασι μέλψωμεν, καὶ ἐκ βαθέων καρδίας κράξωμεν, ὅσιε Ἄνθιμε, ἐκδυσώπει πάντοτε πρὸς τὸν Θεόν, ῥύσασθαι τὴν ποίμνην σου πάσης κακώσεως.
Καθάπερ κῆπος πολύανθος τοῦ Παραδείσου σοφέ,

ἀποπνέων ἑκάστοτε εὐωδίαν ἄῤῥητον, μυστικὴν καὶ οὐράνιον, αἱ ἀρεταί σου εὐωδιάζουσι τοὺς προσιόντας πιστῶς τῇ σκέπῃ σου, ὅσιε Ἄνθιμε εὐωδίας πλήρωσον πνευματικῆς καὶ ἡμᾶς τοὺς δούλους σου τοὺς ἀνυμνοῦντάς σε.

Χαίροις μοναστῶν ἀγλάϊσμα, τῶν ἀσκητῶν καλλονή, Ἐκκλησίας τὸ καύχημα, τῶν πιστῶν τὸ στήριγμα, παρθενίας συνήγορε, τοῦ θείου λόγου κῆρυξ ὁ ἔνθεος, καὶ ἐξαρίθμων μονῶν ἑδραίωμα. Χαίροις ὡράϊσμα ὀρθοδόξου πίστεως, χαίροις ἡμῶν σκέπη καὶ κραταίωμα τῶν εὐφημούντων σε.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Τὸ σέμνωμα τῆς πίστεως καὶ ὀρθοδόξων τὸ κλέος, Ἄνθιμον μελωδήσωμεν. Οὗτος γὰρ ἀγαπήσας ἐκ νεαρὰς ἡλικίας ἀντὶ τοῦ κόσμου τὸν Χριστόν, δι᾽ ἀγώνων ἀσκητικῶν τὴν σάρκα νεκρώσας σὺν τῷ Παύλῳ ἔλεγεν. Χριστῷ συνεσταύρωμαι, ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστὸς πρὸς ὃν καὶ πορεύομαι Διὸ τοῦτον πιστοὶ σὺν τῇ χορεία τῶν ἀσκητῶν τοῦ Χριστοῦ ἀνυμνήσωμεν, ἵνα πρεσβεύῃ αὐτῷ ὅπως ἵλεως γὲνηται ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Καὶ νῦν.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σοῦ καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη κ.λπ.

# Εἰς τὴν Θ. Λειτουργίαν

ΑΠΟΣΤΟΛΟΣ.
Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος.
Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος.
Πρὸς Ἐφεσίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα· (στ΄ 10-18): Ἀδελφοί μου, ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κρατεῖ τῆς ἰσχύος αὐτοῦ…
ΕΥΑΓΓΕΛΙΟΝ Ἐκ τοῦ κατὰ Λουκᾶν, (Ι΄, 17-24): Τῷ καιρῷ ἐκείνῳ ὑπέστρεψαν οἱ ἑβδομήκοντα μετὰ χαρᾶς μεγάλης λέγοντες…

Μεγαλυνάρια.
Τὸν τοῦ Ληξουρίου κλεινὸν βλαστόν, ἀσκητῶν τὸ κλέος, μοναζόντων ὑπογραμμόν, τῆς Μονῆς Λεπέδων, δομήτορα τὸν θεῖον, Ἄνθιμον εὐφημήσωμεν, τὸν τρισόλβιον.
Ὡς ἄνθος μυρίπνοον καὶ τερπνόν, ἡ μνήμη σου μάκαρ ἐξανέτειλε τηλαυγῶς, καὶ καταφωτίζει, ψυχάς τε καὶ καρδίας, τῶν σὲ ἀνευφημούντων, ὅσιε Ἄνθιμε.
Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, μνήμην τοῦ Ἀνθίμου τοῦ ὁσίου καὶ ἀσκητοῦ, ἵνα ταῖς πρεσβείαις αὐτοῦ ἀξιωθῶμεν, τῆς ἄνω βασιλείας πάντες οἱ ἄνθρωποι
Ὕψωσον τὰς χεῖράς σου πρὸς Θεόν, ὑπὲρ εὐσταθείας τῶν ἁγίων Ἐκκλησιῶν, καὶ ὑπὲρ εἰρήνης, τῆς οἰκουμένης πάσης, ἡμῶν δὲ σωτηρία Ἄνθιμε ὅσιε.

